καὶ ἑκατὸν εἴκοσι ἄσπρα ἀφ' ἑκάστης προθέσεως τῶν διδομένων ἕνεκεν τῶν θαπτομένων ἐν τῇ αὐλῇ τῆς ἐκκλησίας, καὶ τὰ πεντάρια κηρία τὰ συναγόμενα ἐν τῇ ἑορτῇ, καὶ ἀρκεῖσθαι τούτοις, ὡς καὶ τοὺς λοιποὺς ἱερεῖς τοὺς ψάλλοντας δι' ἐμβατοικίου ἐκκλησίας ἐν τῇ Ἀδριανουπόλει, καὶ μὴ ἐνοχλεῖν πλεονεκτικῶς τῇ τε ἐκκλησίᾳ καὶ τοῖς ἀδελφοῖς ταύτης, ὅπερ ἀλλότριον πᾶσι χριστιανοῖς ἐξαιρέτως τοῖς ἱερωμένοις καὶ μονάζουσι. τοὺς δὲ ἀδελφοὺς τῆς ἐκκλησίας βουλόμεθα ἐξ ἀποφάσεως καταστῆσαι παγκάρειον καὶ ἐπιτρόπους μετ' εἰδήσεως τοῦ ἀρχιερέως, ἀνθρώπους θεοσεβεῖς καὶ διοικεῖν τὴν ἐκκλησίαν κατὰ τὴν ἀρχαίαν τάξιν καὶ συνήθειαν καὶ τῶν λοιπῶν ἐν Ἀδριανουπόλει ἐκκλησιῶν, καὶ φυλάττειν καὶ διασώζειν πάντα τὰ ἀφιερωθέντα καὶ ἀφιερούμενα ἐν τῇ ἐκκλησίᾳ τοῦ ἁγίου Στεφάνου ἀμείωτα καὶ ἀνεκποίητα, κινητά τε καὶ ἀκίνητα; καὶ συνάγειν καὶ παραλαμβάνειν τὰς μισθώσεις τούτων καὶ τὰ ἐνοίκεια τῶν ὀνταδίων, τῶν ἐργαστηρίων καὶ τοῦ καπηλίου μέχρις ὀβολοῦ ἐπί τε βελτιώσει καὶ εὐπρεπείᾳ τῆς ἐκκλησίας. Ὡσαύτως καὶ τὰ εἰσερχόμενα ἐν τῇ ἐκκλησίᾳ κηρία δι' ὅλου τοῦ ἔτους καὶ ἔλαιον καὶ προθέσεις, πλὴν τῶν ἑκατὸν εἴκοσι ἄσπρων μιᾶς ἑκάστης, ὡς προείρηται, καὶ τοὺς ἡμίσεις δίσκους καὶ τὰ ἀργυρᾶ εἴδη, καὶ παρακατέχειν ταῦτα καὶ ἀναλίσκειν ἐν τῇ ἐκκλησίᾳ ἐν φόβῳ θεοῦ καὶ ἀδόλῳ συνειδήσει, καὶ μήτε τοὺς πατέρας ζητεῖν τι παρὰ τὰ διωρισμένα, μήτε τοὺς ἀδελφοὺς καὶ ἐπιτρόπους τῆς ἐκκλησίας, ἀλλ' ἑκατέρους ἀρκεῖσθαι καὶ στέργειν καὶ μένειν, οἷς γράφομεν καὶ ἐντελλόμεθα, ἄνευ προφάσεώς τινος καὶ ματαιολογίας καὶ φιλονικείας ἀλόγου, ἐχόντων πρὸ ὀφθαλμῶν τὸν φόβον τοῦ θεοῦ καὶ τὴν δικαιωσύνην αὐτοῦ. Καὶ ἡ φερομένη ἐκείνη ἀπόφασις ἔν τε τοῖς τοῦ ἀρχιερέως γράμμασι καὶ τοῖς πατριαρχικοῖς, διαλαμβάνουσα τὰ ἐνοίκεια τῶν ὀ[ν]τάδων καὶ ἐργαστηρίων καὶ τοῦ καπηλείου καὶ τὰ ἀφιερώματα λαμβάνειν τοὺς πατέρας τῆς μονῆς, ὡς κατὰ συναρπαγὴν καὶ μὴ ἐσκεμμένως εἰσενεχθεῖσα καὶ ἐγχαραχθεῖσα ἔστω ἄκυρος ὡς παράλογος· τὰ γὰρ κατ' ἀπάτην καὶ συναρπαγὴν πραττόμενα οὐ χρόνοις, οὐ τόποις, οὐ γράμμασι βεβαιοῦνταί ποτε, ἀλλὰ λαμβανέτωσαν ταῦτα οἱ ἐπίτροποι καὶ καταναλισκέτωσαν εἰς χρειώδεις ὑποθέσεις τῆς ἐκκλησίας ὡς δίκαιον, τοὺς δὲ πατέρας μακρὰν τούτων ἀπέχειν, ὡς τελείως αὐτοῖς μὴ προσηκόντων. Οὕτως ἀπεφηνάμεθα καὶ οὕτω βουλόμεθα γενέσθαι ἐξ ἀποφάσεως, μὴ τολμῶντος μήτε τοῦ ἤδη ἱερωτάτου μητροπολίτου Ἀδριανουπόλεως, μήτε τῶν μετέπειτα γενησομένων τινὸς ἀνατρέψαι ἢ ἀθετῆσαι τὶ τῶν συνοδικῶς ἀποφανθέντων ἐνταῦθα, ἢ ἄδειαν δοῦναι ζητεῖν τοὺς πατέρας τὰ ῥηθέντα ἐνοίκεια ὡς χαριζόμενος αὐτοῖς ἐν βάρει ἐπιτιμίου καὶ παιδείας τῆς ἀρχιερωσύνης αὐτοῦ, ἀλλὰ καὶ εἰ κατὰ συναρπαγήν ἢ λήθην ἢ τρόπῳ δυναστείας καὶ βίας ἐξωτέρας συμβάλῃ δοθῆναι ἕτερον γράμμα κατὰ τούτου ἄκυρον εἴη καὶ ἀνίσχυρον καὶ ἀντ' οὐδενὸς λογιζόμενον, ὡς παράλογον

καὶ βίαιον μόνου δὲ τοῦ παρόντος ἡ ἰσχὺς ἔστω καὶ τὸ ἀμετάτρεπτον καὶ ἀμετάθετον καὶ ἀπαράβατον παρὰ παντὸς προσώπου εἰς αἰῶνα τὸν ἅπαντα. Ὅστις δ' ἂν διανοηθείη ἀθετῆσαι ἢ ἐναντιωθῆναι ἢ παραβῆναι ταύτην τὴν ἡμετέραν πατριαρχικὴν συνοδικὴν ἀπόφασιν ἢ συνηγορῆσαι τοῖς ἐναντιουμένοις, ὁ τοιοῦτος τῶν ἱερωμένων ὢν τῶν πατέρων τῆς ἁγίας Λαύρας, ἀργὸς εἴη πάσης ἱεροπραξίας καὶ ἐστερημένος τῆς πνευματικῆς διαγωγῆς, ὡς ἄξιος τελείας καθαιρέσεως, τῶν ἰδιωτῶν δὲ ἢ λαϊκῶν ὡς φιλοτάραχος καὶ ἐχθρὸς τοῦ δικαίου ἀφωρισμένος εἴη παρὰ τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ζωοποιοῦ καὶ ἀδιαιρέτου Τριάδος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος αἰωνίως καὶ ἡ μερὶς αὐτῶν μετὰ τοῦ προδότου Ἰούδα καὶ τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικος καὶ κατακεκριμένος μετὰ τῶν σταυρωσάντων τὸν κύριον· καὶ γὰρ εἰς τὴν περὶ τούτου δήλωσιν καὶ βεβαίωσιν ἐγράφη τὸ παρὸν πατριαρχικὸν σιγιλλιῶδες γράμμα ἐν μεμβράναις καὶ ἐδόθη τοῖς ἀδελφοῖς τῆς ἐκκλησίας τοῦ ἁγίου Στεφάνου, ἐν ἔτει ͵αχνγʹ μηνὶ δεκεμβρίῳ, ἰνδικτῶνος ζης.

† *Ἰωαννίκιος* ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

† ὁ Καισαρίας ***Ἄνθιμος***, † ὁ Ἡρακλείας ***Μεθόδιος***,[1]) † ὁ Κυζίκου ***Ἄνθιμος***, † ὁ Ναυπάκτου καὶ Ἄρτης ***Γαβριήλ***, † ὁ Χαλκηδόνος ***Γαβριήλ***, † ὁ Νικομηδείας ***Κύριλλος***, † ὁ Ἀδριανουπόλεως, ***Νεόφυτος***, † ὁ Προύσης ***Κλήμης***, † ὁ Φιλιππουπόλεως ***Γαβριήλ***, † ὁ Διδυμοτείχου ***Ἰάκωβος***, † ὁ Ἀγχιάλου ***Ἰωακείμ***, † ὁ . . . . . . ***Θεοδόσιος***, † ὁ μέγας χαρτοφύλαξ τῆς μεγάλης ἐκκλησίας ***Δημήτριος***.

† ὁ μέγας ῥήτωρ τῆς μεγάλης ἐκκλησίας ***Ἰωάννης***.
† τῆς μεγάλης ἐκκλησίας πρωτέκδικος.
† Λογοθέτης τῆς μεγάλης ἐκκλησίας ***Ἰωάννης***.
† Ὑπομνηματογράφος » » ***Κωνσταντῖνος***.
† μικρὸς ῥήτωρ » » ***Δημήτριος***[2]).

***Θʹ. Πατριαρχικὸν καὶ συνοδικὸν γράμμα χαρτῷον 0,575 X 0,428, ἔτους 1672.***

† ***Διονύσιος*** ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς Πατριάρχης.

---

1) Κακῶς ἀνεγνώσθη ὑπὸ τοῦ κ. Μ. Γεδεὼν ἐν Κανον. Διάταξ. Βʹ (Κ)πολις 1889) σ. 389 Μελέτιος, ἐνῷ ἐν τῷ Αʹ τόμῳ, σ. 54 τὸ ὀρθὸν Μεθόδιος.
2) Τὸ σιγίλλιον τοῦτο ἀναφέρεται καὶ ἐν Μεσ. βιβλ. Γʹ, Σάθα, σ. 588.

† Τῶν κατὰ καιροὺς πραττομένων ἀνθρώποις ἀεὶ πρὸς τὴν ἀνήκουσαν ἑαυτοῖς ἀναφερομένων προσηκόντως ἀρχήν, κἀκεῖθεν τὸ ἐντελὲς εἰς ἰδίαν προσποριζομένην ἐμπέδοσιν, ὃ καὶ κατὰ πᾶσαν ἀνάγκην θέον ἐστὶν αὐτοῖς ἐπιγίνεσθαι· καὶ γὰρ ἄλλως ἀτελῆ καὶ ἀβέβαια μένουσιν. ὅσα μὲν τούτων τῆς κοινῆς πέφυκε πολιτείας ὑπὸ τῆς κατὰ κόσμον ἀρχῆς φιλεῖ δὴ <καὶ> κρατύνεσθαι· ὅσα δ' αὖ πάλιν πρὸς τὴν ἱερὰν ἐπιτείνει κατάστασιν τῆς ἐκκλησιαστικῆς προστασίας ὄντα μερίς, ὑπ' αὐτῆς ταύτης καὶ διοικεῖται πάντως καὶ διεξάγεται καὶ τὸ κῦρος λαμβάνει καὶ τὴν στερέωσιν. Ἐπειδὴ τοιγαροῦν καὶ ὁ ἱερώτατος μητροπολίτης Ἀδριανουπόλεως, ὑπέρτιμος καὶ ἔξαρχος παντὸς Αἱμημόντου, ὁ ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριότητος κὺρ **Νεόφυτος**, ἔχων ἐν τῇ ἐπαρχίᾳ αὐτοῦ μετὰ τῶν ἄλλων καὶ τὴν ἐκκλησίαν τοῦ ἁγίου ἐνδόξου πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου, ἔνδον τῆς πολιτείας Ἀδριανουπόλεως, ἡ μὲν ἱερότης αὐτοῦ βούλεται εἰσάγειν καὶ ἐξάγειν ἱερεῖς ἐν αὐτῇ κατ' ἰδίαν ἐκλογὴν καὶ λαμβάνειν τὸ κατ' ἔτος ἐμβατοίκιον αὐτοῦ ἐκ τῆς αὐτῆς ἐκκλησίας κατ' ἀναλογίαν τοῦ εἰσοδήματος αὐτῆς, ὡς καὶ ἐκ τῶν ἄλλων ἐκκλησιῶν εἰς κυβέρνησιν τῶν ἐξόδων καὶ ἀρχιερατικῶν ὑποθέσεων αὐτοῦ, οἱ δὲ ψάλλοντες ταύτην ἱερομόναχοι ἀπὸ τῆς ἐν τῷ ἁγιωνύμῳ ὄρει μονῆς τῆς Λαύρας ἀπαναίνονταί πως τὴν ἀφ' ἱκανοῦ ἀπότισιν τοῦ ἐμβατοικίου καὶ δέονται διὰ μετρίας τινὸς δόσεως ἱκανοποιεῖν καὶ ἐξευμενίζειν αὐτὸν τοῦ μὴ ἀφίστασθαι τῆς ἐκκλησίας, δικαιολογούμενοι δῆθεν ἔχειν αὐτὴν ὡς μετόχιον αὐτῶν πρὸ χρόνων τινῶν ἐλευθερίας ἠξιωμένον, ὅπερ ἡ ἱερότης αὐτοῦ καθάπαξ ἀνασκευάζει διὰ πατριαρχικῶν σιγιλλιωδῶν γραμμάτων καὶ χοτζετίων διαφόρων καὶ ἄλλων παμπόλλων ἐγγράφων βασιλικῶν χαρτώων, ἅτε πολλάκις ἀγωγῆς κινηθείσης περὶ αὐτῆς καὶ ὑπὸ τὴν δεσποτείαν τῆς μητροπόλεως ἀντικατασταθείσης, ὡς ἐνοριακῆς αὐτῆς ἄνωθεν, καθὰ διαλαμβάνουσι τὰ φαινόμενα παρ' αὐτῆς γράμματα. Τέως παραγεγονότων τῶν Λαυριωτῶν πατέρων εἰς τὰ ὧδε καὶ καταλαβόντων τὴν ἀρχιερωσύνην αὐτοῦ συνδιαιτωμένην ἡμῖν ἐπὶ διασκέψει καὶ διοικήσει τῶν ἐκκλησιαστικῶν ὑποθέσεων καὶ προσπεσόντων αὐτῷ καὶ δεηθέντων συγκαταβῆναι τὴν γνώμην καὶ φιλανθρωπευθῆναι περὶ αὐτούς, καὶ τῆς μὲν ἐκκλησίας μὴ μετακινῆσαι, ἀλλ' ἀφιέναι μένειν ἐν αὐτῇ ὡς εὑρέθησαν, παραιτηθέντα δὲ τὸ ἐπὶ πλέον δεχθῆναι μετ' εὐμενείας καὶ τὸ ὀλίγον ὑπὲρ ψυχικῆς αὐτοῦ σωτηρίας, σὺν αὐτοῖς τε καὶ πολλῶν τῶν ὑπερεχόντων προσώπων μεσιτευσάντων καὶ ἀξιωσάντων κατανεῦσαι τῇ παρακλήσει τῶν μοναζόντων, ἔκλινε μᾶλλον ἀπὸ καλοθελήσεως αὐτοῦ ἢ μεσιτείας καὶ προέβη μεταξὺ αὐτῶν συμφωνία, στερκτὴ τοῖς μέρεσιν ἀμφοτέροις, ὅπως παρέχωσι τῇ αὐτοῦ ἱερότητι κατ' ἔτος ἀντὶ ὀκτὼ χιλιάδων ἄσπρων ἐμβατοικίου λόγῳ καὶ εὑρίσκονται ψάλλοντες, ὡς καὶ πρότερον ἐν τῇ αὐτῇ ἐκκλησίᾳ τοῦ ἁγίου Στεφάνου ἀμετακινήτως, μετὰ

εἰρήνης καὶ ὑποταγῆς καὶ εὐπειθείας καὶ συντηρήσεως τῶν ἀνηκόντων ἀξιωμάτων καὶ προνομίων αὐτῷ τῷ κατὰ τόπον ἀρχιερεῖ καὶ προστάτῃ τῆς ἱερᾶς αὐτῆς μητροπόλεως μνημονεύοντες τοῦ κανονικοῦ αὐτοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς καὶ πειθόμενοι καὶ ὑποτασσόμενοι αὐτῷ, ὡς καὶ οἱ λοιποὶ ἱερεῖς τῶν ἐκκλησιῶν τῆς μητροπόλεως αὐτοῦ καὶ χάριν ὁμολογεῖν αὐτῷ τῆς πρὸς αὐτοὺς συγκαταβασεως αὐτοῦ καὶ φιλανθρωπίας, ἥν περ συμφωνίαν ἐδεήθησαν οἱ πατέρες βεβαιωθῆναι καὶ παρ' ἡμῶν διὰ πατριαρχικοῦ καὶ συνοδικοῦ γράμματος ἐπὶ κρείττονι ἀσφαλείᾳ. Τούτου χάριν τὴν αἴτησιν αὐτῶν ἀποδεξάμενοι δεκτέαν οὖσαν καὶ εὔλογον γράφομεν καὶ ἀποφαινόμεθα συνοδικῶς, γνώμῃ καὶ τῶν παρευρεθέντων ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἡ συμφωνία αὕτη ἔχῃ τὸ κῦρος ἀναντιρρήτως καὶ τὴν ἰσχὺν καὶ τὸ βέβαιον εἰς τὸ ἑξῆς, καὶ τὸ ἀμετάτρεπτον. καὶ οἱ μὲν ἱερεῖς, οἱ Λαυριόται, μένοντες ἐν τῇ ὑποσχέσει αὐτῶν ταύτῃ ἀμεταθέτως ὀφείλωσι παρέχειν κατ' ἔτος τῷ ἱερωτάτῳ μητροπολίτῃ 'Αδριανουπόλεως τὴν συμπεφωνηθεῖσαν (sic)[1]) καὶ διορισθεῖσαν ποσότητα τῶν ὀκτὼ χιλιάδων ἄσπρων σῶαν, ἀνελλειπῆ, χωρίς τινος ἀντιλογίας καὶ προφάσεως, καὶ εὑρίσκεσθαι ὡς καὶ πρότερον ἐν τῇ ἐκκλησίᾳ καὶ ψάλλειν, ὡς εἰώθασι, καὶ μνημονεύωσι τοῦ κανονικοῦ ὀνόματος τοῦ ἀρχιερέως καὶ πείθωνται καὶ ὑποτάσσωνται αὐτῷ, ὡς καὶ οἱ λοιποὶ ἱερεῖς τῶν ἐκκλησιῶν, ἡ δὲ ἱερότης αὐτοῦ ἀξιοπρεπῶς τηροῦσα τὴν ὑπόσχεσιν αὐτοῦ ἀπαράλλακτον, λαμβάνῃ παρ' αὐτῶν τὰς ὀκτὼ χιλιάδας τῶν ἄσπρων κατ' ἔτος, ἄλλην ἐπαύξησιν μὴ ἐπιτιθέμενος τῇ ποσότητι μηδὲ εἰς πλέον ἐκτείνειν τὸν ἀριθμὸν τῶν ὀκτὼ χιλιάδων ἄσπρων αὐτῶν, καὶ φυλάττωνται τὰ συμπεφωνημένα ἐξ ἀμφοτέρων τῶν μερῶν ἀμετάθετα κατὰ τὸ πρέπον καὶ δίκαιον· ἡ γὰρ ἀθέτησις τῆς οἰκειοθελοῦς συμφωνίας καὶ θεῷ καὶ ἀνθρώποις κατέγνωσται, καὶ εἰς οὐδὲν ἀγαθὸν συντελεῖ· ὅθεν εἰς ἔνδειξιν ἐγένετο καὶ τὸ παρὸν πατριαρχικὸν συνοδικὸν ἐπιβεβαιωτήριον γράμμα πρὸς ἐμπέδοσιν καὶ ἀσφάλειαν τῆς συμφωνίας καὶ ἐδόθη τοῖς εἰρημένοις Λαυριόταις πατράσιν. ,αχοβ', ἐν μηνὶ ἰουνίου α', ἰνδικτιῶνος ιης. [2])

† ὁ Ἡρακλείας **Βαρθολομαῖος**, † ὁ Κυζίκου **Μητροφάνης**, † ὁ Νικομηδείας **Νεόφυτος**, † ὁ 'Αδριανουπόλεως **Νεόφυτος**, † ὁ Σερρῶν **Κύριλλος**, † ὁ Δρύστρας **Μακάριος**, † ὁ Τυρνόβου **Γεράσιμος**, † ὁ 'Αθηνῶν **Ἄνθιμος**, † ὁ Φιλιππουπόλεως **Γαβριήλ**, † ὁ Ἄρτης **Βαρθολομαῖος**, † ὁ Δέρκων **Χρύσανθος**.

---

1) συμπεφωνηθεῖσαν, κατὰ τὸν μετ' ἀναδιπλασιασμοῦ Ὁμηρ. ἀόρ. Ἰλ Ι 705 τεταρπόμενοι· ἀλλ' εἶναι ζήτημα, ἂν ὁ γράφων ἐγνώριζε τὸν Ὅμηρον.

2) Ἡ μηνολογία ἰδιοχείρως ὑπὸ τοῦ πατριάρχου, ὡς εἴθισται, δι' ὑπερμεγέθων γραμμάτων 0,9 τοῦ μέτρου.

Ι΄. Γράμμα χαρτῷον 0,34Χ0,23.

τοῦ Ἀδριανουπόλεως Ἀθανασίου 1710.

† Διὰ τοῦ παρόντος γράμματος δηλοποιεῖται, ὅτι οἱ ἐκ τοῦ κατὰ τὸ ἁγιώνυμον ὄρος τοῦ Ἄθωνος ἱεροῦ μοναστηρίου τῆς Λαύρας ὁσιώτατοι πατέρες ἐμφανίσαντες ἡμῖν γράμματα ἐμβατοικοχαρτίου τοῦ πρὸ ἡμῶν μακαρίτου κὺρ Ἀθανασίου τοῦ Κρητός, τοῦ πατριάρχου Κωνσταντινουπόλεως χρηματίσαντος, δηλοῦντα, ὡς ἐλάμβανε κατ' ἐνιαυτὸν παρὰ τοῦ ἡγουμενεύοντος ἐν τῷ ἐνταῦθα μετοχίῳ αὐτῶν τοῦ ἁγίου Στεφάνου, δι' ἣν ψάλλει ἐνορίαν λόγῳ ἐμβατοικίου γρόσια ἑβδομήκοντα, ἔτι δὲ καὶ ἄσπρα τριακόσια διὰ τὰ τοῦ ἐμβατοικοχαρτίου ἔξοδα, καὶ ἀνὰ ἑξακόσια ἄσπρα, τὰ φιλότιμα δηλονότι, ἀπό τε τοῦ ἡγουμένου καὶ ἀφ' ἑκάστου τῶν παρ' αὐτῷ ἱερομονάχων, ἠξίωσαν ἐπιβεβαιωθῆναι ταῦτα καὶ παρ' ἡμῶν ἀμεταθέτως χωρίς τινος μειώσεως καὶ αὐξήσεως· ὅθεν καὶ ἡμεῖς στοιχοῦντες καὶ κατ' ἴχνος ἑπόμενοι τοῖς πρὸ ἡμῶν ἀρχιερατεύσασιν ἀποφαινόμενοι γράφομεν, ἵνα τῆς ἐτησίου ταύτης δόσεως τῶν λόγῳ ἐμβατοικίου παρεχομένων ἡμῖν παρὰ τοῦ κατὰ καιροὺς ἡγουμενεύοντος ἐν τῇ ἐκκλησίᾳ ταύτῃ τοῦ ἁγίου Στεφάνου γροσίων ἑβδομήκοντα καὶ τῶν τριακοσίων ἄσπρων διὰ τὴν γραφομένην τοῦ ἐμβατικίου ἀπόδειξιν καὶ ἀνὰ δύο φλωρίων, ἤτοι ἑξακοσίων ἄσπρων, παρὰ τοῦ ἡγουμένου καὶ τῶν παρ' αὐτῷ ἱερομονάχων, ἀφ' ἑκάστου ἰδίως κατ' ἔτος, τὸ κῦρος ἐχούσης καὶ τὴν ἰσχὺν ἀπαρασάλευτον. Ὀφείλῃ ὁ κατὰ καιροὺς ἡγούμενος τοῦ μετοχίου τούτου παρέχειν ταῦτα πρὸς ἡμᾶς καὶ τοὺς μεθ' ἡμᾶς συναδελφοὺς ἀμείωτα μετ' εὐπειθείας, καὶ ὑποτάσσεται ἡμῖν τε κἀκείνοις, σωζομένης καὶ παρ' ἡμῶν τῆς λήψεως ταύτης, ὡς διείληπται, ἀμεταποιήτου κατὰ τὴν ἀνέκαθεν ἐπικρατήσασαν συνήθειαν· διὸ εἰς ἔνδειξιν ἐδόθη τὸ παρὸν ἡμέτερον ἐπιβεβαιωτήριον γράμμα τοῖς ὁσιωτάτοις πατράσι τῆς μονῆς Λαύρας. αψι΄, αὐγούστου ιε΄.

† Ὁ Ἀδριανουπόλεως *Ἀθανάσιος* βεβαιοῖ.

ΙΑ΄. Σιγίλλιον μεμβράινον 0,54Χ0, 57, ἔτους 1741.

† ***Παΐσιος*** ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς Πατριάρχης.

† Τὰς προβαινούσας κατὰ καιροὺς συνθήκας καὶ συμφωνίας μεταξὺ τῶν ἁγίων ἐκκλησιῶν τοῦ θεοῦ καὶ τῶν ἐν αὐτοῖς προϊσταμένων, καὶ τούτων μάλιστα ὅσαι μεταξὺ ἁγιωτάτων μητροπόλεων καὶ ἱερῶν μονυδρίων, εὐλόγως καὶ σὺν τῷ δικαίῳ κατὰ καιροὺς συνετελέσθησαν ἑκατέροις τὰ δίκαια διασώζουσαι καὶ τὸ εὐκατάστατον συντηροῦσαι, πάσης διενέξεως καὶ φιλονικείας καὶ μάχης αὐτὰ ἀπαλλάτουσαι, καὶ τὴν θεῷ φίλην καὶ κεχαρισμένην εἰρήνην ἐμποιοῦσαι. Ταύτας ἐμφανιζομένας καὶ ἀναφε-

ρομένας τῇ τοῦ καθ' ἡμᾶς οἰκουμενικοῦ θρόνου περιωπῇ, ἐφ' ᾧ παρὰ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας τὸ κῦρος λαβεῖν καὶ τὴν εἰς τοὐπιὸν ἀσφάλειαν, οὐ μόνον ὑποδοχῆς ἀξίας ἡγούμεθα, ὡς τὴν μέριμναν ἔχοντες τῆς εὐκαταστάτου διαγωγῆς τῶν ἁπανταχοῦ ἁγίων ἐκκλησιῶν, ἀλλὰ καὶ γράμμασι πατριαρχικοῖς κατοχυροῦν καὶ κατασφαλίζειν αὐτὸς οὐ παραιτούμεθα ἐπὶ τῷ συντηρεῖσθαι ἀπαραβάτους καὶ ἀμεταθέτους ἐς ἀεὶ καὶ μηδεμίαν τῇ τοῦ καιροῦ παρόδῳ βλάβην ὑφίστασθαι. ἀναγκαίας ὑπὲρ τι (sic) ἄλλο οὔσης τῆς τῶν ἐκκλησιῶν εἰρήνης καὶ εὐσταθείας καὶ τῶν κανονικῶν αὐτῶν δικαιωμάτων διεκδικουμένων τῶν ἱερῶν νόμων ἀνάγκη καὶ τὰ συμφωνούμενα ἐπ' αὐτοῖς, ἐπειδὰν τοῦ δικαίου ἔχονται ὑπομνήματα, σαφηνίζεσθαι εἰς ἀνεξάλειπτον μνήμην καὶ μόνιμον αὐτῶν τὴν ἀσφάλειαν. Ἐπειδὴ τοιγαροῦν καὶ ἡ ἐν τῇ ἁγιωτάτῃ μητροπόλει τῆς Ἀδριανουπόλεως εὑρισκομένη ἐκκλησία, ἡ τιμωμένη ἐπ' ὀνόματι τοῦ ἁγίου πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου, ὁμοῦ μετὰ τῆς συνηνωμένης καὶ ὑποκειμένης αὐτῇ ἐνορίας ἀνέκαθεν διατελοῦσα μετόχιον τῆς ἐν τῷ ἁγιωνύμῳ ὄρει ἱερᾶς καὶ βασιλικῆς μονῆς τῆς μεγίστης Λαύρας διῳκεῖτο μὲν καὶ ἐπροστατεύετο καὶ ἐπισκέψεως ἠξιοῦτο ὑπὸ τῶν ἀποστελλομένων κατὰ καιροὺς ὁσιωτάτων πατέρων ὑπὸ τῆς ῥηθείσης Λαύρας, πλὴν διὰ τὴν [ἣν] εἶχεν συνηνωμένην ἐνορίαν τῶν Χριστιανῶν πρὸ χρόνων ἤδη ἐπέκεινα τῶν ἐννενήκοντα, μικρὰν οὖσαν ἐν τῷ τότε καὶ ὀλιγάριθμον, ὀλίγους τινὰς τοὺς συνοικοῦντας ἔχουσαν, συνεφώνησαν οἱ κατ' ἐκεῖνο καιροῦ ὁσιώτατοι πατέρες μετὰ τοῦ ἀρχιερατεύοντος τηνικαῦτα μητροπολίτου Ἀδριανουπόλεως ποτὲ ***Νεοφύτου*** παρέχειν αὐτῷ ἀντὶ τοῦ ἀνήκοντος ὡς κατὰ τόπον ἀρχιερεῖ δικαιώματος ἀπὸ τῆς ἧς ἔψαλλον ἐνορίας λόγῳ ἐμβατοικίου τρεῖς χιλιάδας τῶν ἄσπρων κατ' ἔτος, κατ' ἀναλογίαν τῆς τότε καταστάσεως καὶ μικρότητος αὐτῆς καὶ ὑπέσχοντο μνημονεύειν τοῦ κανονικοῦ αὐτοῦ ὀνόματος βεβαιώσαντες τὴν τοιαύτην αὐτῶν συμφωνίαν καὶ διὰ γράμματος πατριαρχικοῦ συνοδικοῦ σιγιλλιώδους γεγονότος ἐπὶ τοῦ τηνικαῦτα πατριάρχου μακαρίτου ποτὲ κὺρ ***Ἰωαννικίου***, ὅπερ καὶ ἐνεφανίσθη ἤδη ἡμῖν. εἶτα τοῦ καιροῦ προϊόντος καὶ τῆς ῥηθείσης ἐνορίας ἀπὸ τῆς πρώτης ἐκείνης σμικρότητος καὶ ὀλιγανθρωπίας εἰς αὔξησιν καὶ πλατυσμὸν καὶ πολλῶν ἐνοριτῶν συνοικισμὸν θείῳ ἐλέει προελθούσης καὶ ἐπαυξηθείσης, οἱ αὐτοὶ ὁσιώτατοι πατέρες διακριθέντες ἐπὶ τῇ γινομένῃ τῆς ἐνορίας αὐξήσει καὶ τὸ ἐπιβάλλον τοῦ ἀρχιερέως δίκαιον στοχασάμενοι τῆς προτέρας ἐκείνης ἐπὶ τῇ δώσει συμφωνίας ἀπρακτησάσης, συνεφώνησαν αὖθις ἑτέραν συμφωνίαν μετὰ τοῦ προαρχιερατεύσαντος καὶ πρὸ ὀλίγου ἤδη τελευτήσαντος μακαρίτου Ἀδριανουπόλεως κὺρ ***Ἀθανασίου***, καὶ κατὰ κοινὴν συναίνεσιν καὶ συνθήκην ὑπέσχοντο αὐτοὶ μὲν πληροῦν πρὸς τὸν ἀρχιερέα λόγῳ ἐμβατοικίου κατ' ἔτος ἑβδομήκοντα γρόσια, καὶ πρὸς τούτοις ἕτερα τριακόσια ἄσπρα

διὰ τὰ τοῦ ἐμβατοικοχαρτίου ἔξοδα, καὶ παρὰ ταῦτα ἀνὰ ἑξακόσια ἄσπρα δίδοσθαι παρ' αὐτῶν διὰ τὰ φιλότιμα, δηλονότι ἀπό τε τοῦ ἡγουμένου καὶ ἀφ' ἑκάστου τῶν παρ' αὐτῷ ἱερομονάχων, καὶ ταῦτα πάντα ἐτησίως ὀφείλειν πληροῦν καὶ διδόναι ἀνελλειπῶς καὶ ἀπαραμειώτως μνημονεύοντες καὶ τοῦ κανονικοῦ αὐτοῦ ὀνόματος· ὁ δ' οὖν ἀρχιερεὺς ὑπέσχετο ἀρκεῖσθαι τῷ γεγανότι τούτῳ τῆς δώσεως διορισμῷ καὶ μηκέτι ἐνοχλεῖν τοῖς πατράσι τούτοις, οὔτε ζητεῖν παρ' αὐτῶν ἄλλο τι πολὺ ἢ ὀλίγον δόσιμον ἐκτὸς τῶν διορισθέντων τούτων. Τὴν γοῦν τελευταίαν τοιαύτην συμφωνίαν καὶ ὑπόσχεσιν αὐτῶν φθάσασαν πρότερον συντελεσθῆναι ἐπὶ τοῦ εἰρημένου μακαρίτου Ἀδριανουπόλεως κὺρ ***Ἀθανασίου*** καὶ βεβαιωθῆναι διὰ γραμμάτων συμφωνητικῶν ἀποδεξάμενος καὶ ὁ μετ' ἐκεῖνον ἤδη διαδεξάμενος τὸν ἀρχιερατικὸν τοῦτον θρόνον ἱερώτατος μητροπολίτης Ἀδριανουπόλεως, ὑπέρτιμος καὶ ἔξαρχος παντὸς Αἱμημόντου, ὁ ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ ***Διονύσιος*** καὶ στέρξας ἐπὶ πᾶσι τούτοις τοῖς προσυντελεσθεῖσιν, ἐπεβεβαίωσε μὲν ἡ αὐτοῦ ἱερότης τὴν ῥηθεῖσαν τελευταίαν ταύτην συμφωνίαν, καθ' ὃν εἴρηται τρόπον, κατοχυρώσας αὐτὴν καὶ διὰ γράμματος αὐτοῦ κατησφαλισμένου τῇ ἰδίᾳ ὑπογραφῇ, ὅπερ καὶ αὐτὸ ἐνεφανίσθη ἤδη ἡμῖν, δι' οὗ συμφωνεῖ καὶ ὑπόσχεται ἀρνεῖσθαι τῷ προδιορισθέντι κατ' ἔτος ἐμβατοικίῳ τῶν ἑβδομήκοντα γροσίων καὶ τῇ δώσει τῶν τριακοσίων ἄσπρων διὰ τὰ τοῦ ἐμβατοικοχαρτίου ἔξοδα, καὶ τοῖς ἀνὰ ἑξακόσια ἄσπρα διδομένης φιλοτίμοις ἀπό τε τοῦ ἡγουμένου καὶ ἀφ' ἑκάστου τῶν παρ' αὐτῷ ἱερομονάχων, καὶ μήτε τὴν αὐτοῦ ἱερότητα ζητεῖν τοῦ λοιποῦ ἄλλο τί πλέον δόσιμον ἢ δικαίωμα παρὰ τῶν πατέρων τοῦ ῥηθέντος μετοχίου τοῦ ἁγίου Στεφάνου, ἐκτὸς τῶν ὀνομαστὶ εἰρημένων, ἢ θελῆσαι ποτὲ αὔξησίν τινος καὶ προσθήκην ποιῆσαι ἐπ' αὐτοῖς, μήτε τοὺς πατέρας τολμῆσαι μειῶσαι ποτὲ ἢ ἐλαττῶσαι τὰ προδιορισθέντα ταῦτα τοῦ ἀρχιερέως δοσίματα, ἀλλὰ παρέχοντας ἀνελλειπῶς ταῦτα καὶ μνημονεύοντας τοῦ κανονικοῦ ὀνόματος τοῦ ἀρχιερέως, μένειν αὐτοὺς ἀνενοχλήτους καὶ ἀνεπηρεάστους καὶ ἀκαταζητήτους εἰς τὸ παντελές. Οἱ γοῦν ῥηθέντες ὁσιώτατοι πατέρες τοῦ διαληφθέντος μετοχίου βουλόμενοι τὴν συμφωνίαν αὐτῶν ταύτην ἔχειν τὸ κῦρος τοῦ λοιποῦ καὶ μένειν εἰς τὸ ἑξῆς ἀμετάθετον προσδραμόντες τῇ δυνάμει καὶ μεγαλειότητι τῆς πατριαρχικῆς περιωπῆς καὶ ἀξίας ἐδεήθησαν τῆς ἡμῶν μετριότητος κατοχυρῶσαι αὐτὴν δι' ἡμετέρου πατριαρχικοῦ συνοδικοῦ σιγιλλιώδους γράμματος, ἣν τινα ἀξίωσιν καὶ δέησιν αὐτῶν εὔλογον οὖσαν καὶ δικαίαν εὐμενῶς ἀποδεξάμενοι γράφομεν καὶ ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἡ διαληφθεῖσα συμφωνία ἡ προβᾶσα καὶ γινομένη μεταξὺ τῶν ὁσιωτάτων Λαυριωτῶν πατέρων καὶ τοῦ ἱερωτάτου μητροπολίτου Ἀδριανου-

πόλεως καὶ συναδελφοῦ ἡμῶν κὺρ **Διονυσίου** περὶ τοῦ ἐν Ἀδριανουπόλει διατελοῦντος μετοχίου τῆς μεγίστης Λαύρας, τοῦ τιμωμένου ἐπ' ὀνόματι τοῦ ἁγίου Στεφάνου καὶ τῆς συνηνωμένης αὐτῷ ἐνορίας κατὰ τὸν τελευταῖον προσυντελεσθέντα καὶ αὖθις βεβαιωθέντα ἐπ' αὐτῇ τύπον, δηλονότι τοῦ παρέχειν τοὺς πατέρας κατ' ἔτος πρὸς τὸν κατὰ τόπον ἀρχιερέα λόγῳ ἐμβατοικίου ἑβδομήκοντα γρόσια, καὶ πρὸς τούτοις τριακόσια ἄσπρα διὰ τὰ ἔξοδα τοῦ ἐμβατοικοχαρτίου, καὶ παρὰ ταῦτα ἀνὰ ἑξακόσια ἄσπρα, φιλότιμα, ἀπό τε τοῦ ἡγουμένου καὶ ἀφ' ἑκάστου τῶν παρ' αὐτῷ ἱερομονάχων, καὶ μηδὲν πλέον τούτων. καὶ μήτε τοὺς πατέρας αὐτοὺς τολμῆσαι πώποτε κολλωβῶσαι τὰ διορισθέντα ταῦτα δοσίματα, μήτε τὸν κατὰ τόπον ἀρχιερέα θελῆσαι ποτὲ αὔξησιν τινὰ καὶ προσθήκην ἐπ' αὐτοῖς ποιῆσαι, ἢ ἄλλο τὶ πολὺ ἢ ὀλίγον ἐκτὸς τῶν εἰρημένων ζητῆσαι, ἀλλ' ἀρκεῖσθαι ἐς ἀεὶ ἑκάτερα τὰ μέρη τῷ γεγονότι τούτῳ διορισμῷ, ἵνα ἀμεταθέτως καὶ ἀπαραβάτως ἔχῃ τὸ κῦρος [1]) καὶ τὴν ἰσχὺν βεβαίαν καὶ μόνιμον καὶ παρ' οὐδενὸς ἀθετουμένην καὶ ἀνατρεπομένην οἱῳδήτινι τρόπῳ.

Ὃς δ' ἂν τις καὶ ὁποῖος τολμήσῃ ποτὲ ἀπ' ἐναντίας κινηθῆναι τῇ γενομένῃ ταύτῃ συμφωνίᾳ καὶ τῷ διορισμῷ καὶ βλάβην τινὰ καὶ ζημίαν προστρίψαι θατέρῳ τῶν μερῶν τούτων, σκανδάλων τε καὶ συγχύσεως πρόξενος αὐτοῖς γένηται, καὶ τὸ εἰρηνικὸν καὶ εὐκατάστατον αὐτῶν διασείσῃ καὶ ἐναντίος φανῇ τῇ πατριαρχικῇ καὶ συνοδικῇ ἡμῶν ἀποφάσει ταύτῃ, ὁ τοιοῦτος ὁποίας ἂν εἴη τάξεως καὶ ὁποίου βαθμοῦ ἀφωρισμένος εἴη ἀπὸ θεοῦ κυρίου παντοκράτορος καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ ἄλυτος μετὰ θάνατον καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπόδικος· ὅθεν εἰς τὴν περὶ τούτου ἔνδειξιν, διηνεκῆ τε καὶ μόνιμον ἀσφάλειαν, ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες ἐν μεμβράναις γράμμα καὶ ἐδόθη τοῖς πατράσι τοῦ διαληφθέντος μετοχίου τῆς Λαύρας, ἐν ἔτει σωτηρίῳ αψμ', μηνὶ φευρουαρίῳ, ἰνδικτιῶνος δης.

† **Παΐσιος** ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

† ὁ Ἡρακλείας **Γεράσιμος**, † ὁ Κυζίκου **Ἀνανίας**, † ὁ Νικομηδείας **Θεοφάνης**, † ὁ Νικαίας **Καλλίνικος**, † ὁ Χαλκηδόνος **Καλλίνικος**, † ὁ Σερρῶν **Γαβριήλ**, † ὁ Μελενίκου **Κύριλλος**, † ὁ Ἀγχιάλου **Ναθαναήλ**, † ὁ Θεσσαλονίκης **Ἰωακείμ**, † ὁ Σμύρνης **Μακάριος**, † ὁ Οὐγκροβλαχίας **Νεόφυτος**, † ὁ Σωζουπόλεως **Θεοφάνης**.

---

1) Λείπει τι, ὡς φαίνεται.

Τὸ μολυβδόβουλλον, διαμέτρου 65 χιλιοστῶν, φέρει ἀφ' ἑνὸς μὲν τὴν Θεοτόκον μετὰ τοῦ θείου βρέφους, καὶ ἀφ' ἑτέρου τὴν πατριαρχικὴν ὑπογραφήν.

*ΙΒ'. Σιγίλλιον μεμβράινον* 0,55X0,50 1781 *ἔτος.*

† *Γαβριὴλ* ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης. [1])

† Ὅσα γε, οὐχ ὅπως τὴν ἀρχαιότητα, ἀλλὰ δὴ καὶ αὐτὸ τὸ δίκαιον πλουτοῦσι, συνήγορα καὶ χρόνος αὐτὸ; καὶ πεῖρα λυσιτελῆς ἀνεδείξατο καὶ συμφέροντα, ναὶ μὴν καὶ συντηρητικὰ τῆς εὐαγγελικῆς εἰρήνης καὶ ὑπὲρ συστάσεως ἱερῶν καὶ ἁγίων ἐκκλησιῶν γεγόνασι, καὶ διὰ γραμμάτων πρεσβυγενῶν ἐκυρώθησαν, οὐκ ἀπᾷδον καὶ διὰ νεωτέρων ἐκκλησιαστικῶν γραμμάτων κατοχυροῦσθαι, ἵνα μὴ τῇ τοῦ καιροῦ μακρᾷ παριππεύσει καὶ παρατάσει ἀμεληθέντα καὶ λήθης ἐμπεσόντα βυθοῖς φθάσωσιν ἐκπεσεῖν τῆς ἧς ἔλαχον εὐσταθείας καὶ καλῆς καταστάσεως καὶ ἀνατροπῇ καὶ ἀναιρέσει προσομιλήσωσι. Καλῶς οὖν ποιοῦντες καὶ οἱ κατὰ καιροὺς πνευματικοὶ προστάται τῆς ἐκκλησίας, οἷς τοῦ δικαίου φροντὶς καὶ τῆς ἀρχαιότητος, προσεπικυροῦν οὐκ ἀπαναίνονται τὰ λυσιτελῶς προγεγονότα καὶ πρὸς ὠφέλειαν ἁγίων ἐκκλησιῶν ὡς μάλα συντείνοντα καὶ δικαιοσύνης ἐλόμενα. Ἐπειδὴ τοιγαροῦν ἐνεφανίσθη καὶ τῇ ἡμῶν μετριότητι ἓν παλαιγενὲς σιγίλλιον ἐν μεμβράναις γράμμα γεγραμμένον κατὰ τὸ παρεληλυθὸς χιλιοστὸν ἑπτακοσιοστὸν τεσσαρακοστὸν πρῶτον ἔτος, ἐπὶ τῶν ἡμερῶν τοῦ ἀειδίμου πατριάρχου κὺρ *Παϊσίου*, διαλαμβάνον αὐτολεξί, ὅτι ἡ ἐν τῇ ἁγιωτάτῃ μητροπόλει τῆς Ἀδριανουπόλεως εὑρισκομένη ἐκκλησία, ἡ τιμωμένη ἐπ' ὀνόματι τοῦ ἁγίου καὶ πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου, ὁμοῦ μετὰ τῆς συνηνωμένης καὶ ὑποκειμένης αὐτῇ ἐνορίας, ἀνέκαθεν διατελοῦσα μετόχιον τῆς ἐν τῷ ἁγιωνύμῳ ὄρει ἱερᾶς καὶ βασιλικῆς μονῆς τῆς μεγίστης Λαύρας διῳκεῖτο μὲν καὶ ἐκπροστατεύετο. [2])

. . . . . . . . . . . . . . . . . . . . . . .

. . . . . . . . . . . . . . . . . . . . . . .

Αὐτὰ ταῦτα διαλαμβάνει τὸ εἰρημένον ἐμφανισθὲν ἡμῖν σιγιλλιῶδες ἐν μεμβράναις γράμμα, ἅπερ καὶ διετηρήθησαν καὶ ἐπὶ τῶν ἡμερῶν τοῦ ἀρχιερατεύσαντος ἐν τῇ ἐπαρχίᾳ ταύτῃ μακαρίτου Ἀδριανουπόλεως κὺρ

---

1) Ἐνῶ εἰς πάντα τὰ προηγούμενα σιγίλλια ἡ ἐπιγραφὴ εἶναι διὰ τῆς αὐτῆς γραφῆς τοῦ κειμένου, ἐνταῦθα εἶναι περιπλόκως ἐσχηματοποιημένη, ὡς γίνεται καὶ κατὰ τοὺς νεωτέρους χρόνους, τὸ δὲ ἀρχικὸν τοῦ κειμένου γράμμα καλλιτεχνικὸν περίστησιν οἰκίαν ἐν τῷ μέσῳ τοῦ Ο.

2) Βλ. ΙΑ'. Σιγίλλιον Π α ϊ σ ί ο υ ἀνωτ. 20—70 τὸ ὑπόλοιπον ἀπαραλλάκτως ἐντεῦθεν μέχρι τοῦ ἀκαταζητήτους εἰς τὸ παντελές.

***Νικηφόρου***, μηδεμιᾶς ἀναφυείσης διαφορᾶς καὶ διενέξεως λογομαχίας καὶ συζητήσεως μεταξὺ τῶν κατὰ καιροὺς ἀρχιερατευσάντων ἐν τῇ ἁγίᾳ ταύτῃ ἐπαρχίᾳ καὶ μητροπόλει τῆς Ἀδριανουπόλεως, οὔτε τῶν ὁσιω-άτων πατέρων Λαυριωτῶν περὶ τῆς ἐκκλησιαστικῆς ταύτης ὑποθέσεως μέχρι καὶ τῆς σήμερον· ἐπειδὴ τῶν μὲν ὁσιωτάτων πατέρων Λαυριωτῶν ὑποτελούντων καὶ ἀποδιδόντων εὐγνωμόνως καὶ ἀγογγύστως τὰ ἀνωτέρω εἰρημένα κατ' ἔτος κατ' ἔθος ἀρχαῖον καὶ κατὰ τὴν παλαιὰν αὐτῶν συνθήκην καὶ συμφωνίαν καὶ ὑπόσχεσιν, τῶν δ' αὖ κατὰ καιροὺς ἀρχιερατευσάντων ἐν τῇ ἐπαρχίᾳ ταύτῃ εὐχαρίστως λαμβανόντων ταῦτα καὶ ἀρεσκομένων τῇ τούτων ἐτησίῳ ἀπολήψει, καὶ πανθ' ὅσα περ ἀφορᾷ πρὸς περίθαλψιν καὶ περιποίησιν τῶν ἐν αὐτῷ τῷ μετοχίῳ Λαυριωτῶν πατέρων ἐπιδαψιλευόντων ἀρχιερατικῶς. Οἱ γοῦν ῥηθέντες Λαυριῶται πατέρες οὐ περὶ τῶν παρόντων προνοούμενοι καὶ φροντίζοντες (ἅτε δὴ τοῦ ἐν τῇ ἐπαρχίᾳ ἤδη ἀρχιερατεύοντος ἁγιωτάτου μητροπολίτου Ἀδριανουπόλεως, ὑπερτίμου καὶ ἐξάρχου παντὸς Αἱμιμόντου, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ κὺρ *Καλλινίκου*, οὐχ ἧττονα τῶν πρὸ αὐτοῦ καὶ ὑποσχομένου καὶ προαιρουμένου δείξασθαι πρὸς τοὺς αὐτοὺς πατέρας περιποίησιν καὶ περίθαλψιν), ἀλλὰ δὴ περὶ τοῦ μετέπειτα καὶ τῶν μελλόντων ὡς εἰκὸς προφροντίζοντες προσέδραμον τῇ προνοίᾳ τῆς ἐκκλησίας καὶ τῇ δυνάμει αὐτῆς καὶ μεγαλειότητι τῇ συναινέσει καὶ συγκαταθέσει καὶ τῆς αὐτοῦ ἱερότητος, καὶ ἐδεήθησαν τῆς ἡμῶν μετριότητος κατοχυρῶσαι τὰ ἀνωτέρω ἐκτεθειμένα καὶ διὰ ἡμετέρου πατριαρχικοῦ συνοδικοῦ σιγιλλίου γράμματος, ὅπως μένωσιν εἰς τὸ ἑξῆς ἀπαρεγχείρητα, ἀπαραχάρακτά τε καὶ ἀπαράτρεπτα καὶ ἀνώτερα ἀνατροπῆς τε καὶ ἀναιρέσεως. Καὶ δὴ τὴν αἴτησιν αὐτῶν ὡς εὔλογον οὖσαν καὶ δικαίαν εὐμενῶς προσηκάμενοι καὶ ἀποδεξάμενοι γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἡ διαληφθεῖσα συμφωνία, ἡ προβᾶσα καὶ γενομένη μεταξὺ τῶν ὁσιωτάτων Λαυριωτῶν πατέρων καὶ τῶν κατὰ καιροὺς ἀρχιερατευσάντων ἐν τῇ ἁγιωτάτῃ ταύτῃ μητροπόλει Ἀδριανουπόλεως περὶ τοῦ ἐκεῖ διατελοῦντος μετοχίου τῆς μεγίστης Λαύρας, τοῦ τιμωμένου ἐπ' ὀνόματι τοῦ ἁγίου Στεφάνου καὶ τῆς συνηνωμένης αὐτῷ ἐνορίας κατὰ τὸν τελευταῖον προσυντελεσθέντα καὶ αὖθις βεβαιωθέντα καὶ ἤδη ἀνακαινιζόμενον ἐπ' αὐτῇ τύπον, τοῦ παρέχειν δηλονότι τοὺς πατέρας κατ' ἔτος πρὸς τὸν κατὰ τόπον ἀρχιερέα λόγῳ ἐμβατοικίου ἑβδομήκοντα γρόσια καὶ πρὸς τούτοις τριακόσια ἄσπρα διὰ τὰ ἔξοδα τοῦ ἐμβατοικοχαρτίου, καὶ παρὰ ταῦτα ἀνὰ ἑξήκοντα ἄσπρα, φιλότιμα, ἀπό τε τοῦ ἡγουμένου καὶ ἀφ' ἑκάστου τῶν παρ' αὐτῷ ἱερομονάχων, καὶ μηδὲν πλέον τούτων. καὶ μήτε τοὺς πατέρας αὐτοὺς τολμῆσαι πώποτε κολοβῶσαι τὰ διορισθέντα ταῦτα δοσίματα, μήτε τὸν κατὰ τόπον ἀρχιερέα θελῆσαι πώ-

ποτὲ αὔξησιν τινὰ καὶ προσθήκην ἐπ' αὐτῆς ποιῆσαι, ἢ ἄλλο τι πολὺ ἢ ὀλίγον ἐκτὸς τῶν εἰρημένων ζητῆσαι, ἀλλ' ἀρκεῖσθαι εἰς ἀεὶ ἑκάτερα τὰ μέρη τῷ γεγονότι τούτῳ διορισμῷ ἀμεταθέτως, καὶ ἀπαραβάτως ἔχειν τὸ κῦρος καὶ τὴν ἰσχὺν βεβαίαν καὶ μόνιμον καὶ παρ' οὐδενὸς ἀθετουμένην καὶ ἀνατρεπομένην τρόπῳ οἱωδήποτε.

Ὅς δ' ἂν καὶ ὁποῖος τῶν ἁπάντων τολμήσῃ κινηθῆναί ποτε ἀπ' ἐναντίας τῇ ἀρχαίᾳ ταύτῃ καὶ ἤδη ἀνακαινισθείσῃ συμφωνίᾳ καὶ τῷ διορισμῷ καὶ βλάβην τινὰ καὶ ζημίαν προστρίψαι θατέρῳ τῶν μερῶν τούτων, σκανδάλων τε καὶ συγχύσεως πρόξενος αὐτοῖς γένηται καὶ τὸ εἰρηνικὸν καὶ εὐκατάστατον αὐτῶν διασείσῃ καὶ ἐναντίος φανῇ τῇ πατριαρχικῇ καὶ συνοδικῇ ἡμῶν ἀποφάσει ταύτῃ, ὁ τοιοῦτος ὁποίας ἂν εἴη τάξεως καὶ ὁποίου βαθμοῦ ἀφωρισμένος εἴη ἀπὸ θεοῦ κυρίου παντοκράτορος καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ ἄλυτος μετὰ θάνατον καὶ πάσαις ταις πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος. Ὅθεν εἰς τὴν περὶ τούτου ἔνδειξιν διηνεκῆ τε καὶ μόνιμον ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν σιγιλλιῶδες ἐν μεμβράναις γράμμα καὶ καταστρωθὲν ἐν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας ἐδόθη τῆς πατράσι τοῦ διαληφθέντος μετοχίου τῆς Λαύρας.

Ἐν ἔτει σωτηρίῳ χιλιοστῷ ἑπτακοσιοστῷ ὀγδοηκοστῷ πρώτῳ, κατὰ μῆνα ἰούνιον, ἐπινεμήσεως δεκάτης τετάρτης.[1])

† ***Γαβριὴλ*** ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

† Ὁ Ἡρακλείας ***Μεθόδιος***, † Κυζίκου ***Ἀγάπιος***, † ὁ Χαλκηδόνος ***Παρθένιος***, † ὁ Δέρκων ***Σαμουήλ***, † ὁ Τυρνόβου ***Καλλίνικος***, † ὁ Ἀθηνῶν ***Βενέδικτος***, † ὁ Σμύρνης ***Προκόπιος***, † ὁ Χριστιανουπόλεως ***Ἱερεμίας***, † ὁ Βιζύης ***Γεράσιμος***.

Τὸ μολυβδόβουλλον καλλιτεχνικόν, ὀλίγον ᾠοειδὲς διαμέτρ. 0600×0650

### *ΙΓ'. Ἀντίγραφον γράμματος πατριαρχικοῦ συνοδικοῦ 1789.*

***Νεόφυτος*** ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Διὰ τοῦ παρόντος ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ ἀποδεικτικοῦ γράμματος δῆλον γίνεται, ὅτι οἱ ὁσιώτατοι πρόκριτοι πατέρες καὶ οἱ λοιποὶ τοῦ εἰς τὸ ἁγιώνυμον Ὄρος τοῦ Ἄθωνος ἱεροῦ καὶ σεβασμίου ἡμετέρου πατριαρχικοῦ καὶ σταυροπηγιακοῦ μοναστηρίου τῆς μεγίστης Λαύ-

---

1) ἐν ἔτει—τετάρτης, μεγαλητέροις γράμμασιν.

ρας ἐν ἀμηχανίᾳ καὶ παντελεῖ ἀπορίᾳ γενόμενοι διὰ τὰ ἐπικείμενα αὐτοῖς [1]) μοναστηριακὰ βάρη καὶ χρέη παρεγένοντο ἐνταῦθα εἰς Κωνσταντινούπολιν πρός τινα ἀνακουφισμὸν καὶ διόρθωσιν αὐτῶν, καὶ εἰς κοινὴν αὐτῶν συναίνεσιν καὶ πατριαρχικὴν ἡμῶν καὶ συνοδικὴν ἀπόφασιν ἐκρίθη εὔλογον, ὅπως [πωληθῶσι] τὰ ἀσημικὰ πάντα καὶ ἀργυρᾶ κανδήλια [2]) τὰ ἐν τῷ εἰς τὴν Ἀδριανούπολιν Λαυριωτικῷ αὐτῶν μετοχίῳ τῆς ἐκκλησίας τοῦ ἁγίου Στεφάνου, καὶ τὰ ἄσπρα τῆς τούτων διατιμήσεως ἀποδοθῶσιν εἰς ἐκπλήρωσιν τῶν τοῦ ῥηθέντος ἱεροῦ αὐτῶν μοναστηρίου τῆς μεγίστης Λαύρας βαρυτάτων χρεῶν. Ἔνθεν τοι [3]) καὶ ἀπεστάλη ἐξ αὐτῶν ὁ συγκοινοβιάτης ὁσιώτατος προηγούμενος κὺρ ***Γεράσιμος*** τοῦ πωλῆσαι [4]) ταῦτα. Ἀλλ' οἱ ἐν Ἀδριανουπόλει εὐλογημένοι χριστιανοὶ τοῦ ῥουφετίου τῶν μπακάλιδων πρωτομαγίστορες καὶ λοιποὶ μαγίστορες εἰς θεῖον ζῆλον κινούμενοι καὶ βουλόμενοι βοηθῆσαι τῇ ῥηθείσῃ ἐκκλησίᾳ τοῦ ἁγίου Στεφάνου καὶ τῷ γεραρῷ μοναστηρίῳ τῆς μεγίστης Λαύρας ἔδωκαν τῷ ῥηθέντι ὁσιωτάτῳ προηγουμένῳ Λαυριώτῃ κὺρ ***Γερασίμῳ*** γρόσια τὸν ἀριθμὸν δύω χιλιάδας κατέναντι τοῦ εἰς τόπον ἀρχιερέως καὶ κυριάρχου, ἱερωτάτου μητροπολίτου Ἀδριανουπόλεως ὑπερτίμου καὶ ἐξάρχου παντὸς Αἱμιμόντου [5]) ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ κὺρ ***Καλλινίκου***, ἀντὶ τῶν εἰρημένων ἀσημικῶν, ἅτινα ῥητῶς ἓν ἕκαστον καταγεγραμμένα τυγχάνουσιν ἐν ἰδίῳ καταστίχῳ καὶ βεβαιωθέντα παρὰ τῆς ἡμετέρας μετριότητος, γενομένης μεταξὺ αὐτῶν κοινῆς διαθήκης καὶ τοιᾶσδε συμφωνίας, ὅπως τὰ εἰρημένα ἀσημικὰ μένωσιν αὖθις ἐν τῇ ῥηθείσῃ ἐκκλησίᾳ τοῦ ἁγίου Στεφάνου τοῦ Λαυριωτικοῦ μετοχίου ὡσὰν ἀναφαίρετα καὶ ἀναπόσπαστα, ἀλλ' ἐν μόνῃ τῇ χρήσει πρὸς εὐπρέπειαν τῆς αὐτῆς ἐκκλησίας παρὰ τοῦ κατὰ καιροὺς ἐν αὐτῇ προηγουμένου Λαυριώτου εἰς συναίνεσιν καὶ θέλησιν τῶν πρωτομαγιστόρων τοῦ ἐσναφίου τούτου τῶν μπακάλιδων, ὡς ἀγοραστῶν ἐχόντων τὴν δεσποτείαν καὶ ἐξουσίαν ἐν τοῖς ῥηθεῖσιν ἐκκλησιαστικοῖς ἀσημικοῖς σκεύεσι, μὴ ἐχόντων ὅμως οὐδεμίαν ἐξουσίαν μετακινῆσαι αὐτὰ ἢ μεταθέσαι εἰς ἄλλην ἐκκλησίαν, ἢ πωλῆσαι ὅλως καὶ τὸ σμικρότατον ἐφ' οἱαδήτινι αἰτίᾳ καὶ προφάσει. ὡσαύτως οὔτε οἱ ὁσιώτατοι Λαυριῶται πατέρες μηδεμίαν ἐξουσίαν τοῦ λοιποῦ ἔχοντες ἐν αὐτοῖς [οὐ] δύνανται μετακινῆσαι αὐτὰ ἀπὸ τῆς ἐκκλησίας ταύτης, οὔτε πωλῆσαι αὐτὰ κἂν περιστάσεσι ποικίλαις καὶ βαρυτέραις περιπέσωσιν, ἀλλ' ἔχωσι μένειν εἰς τὸν ἅπαντα αἰῶνα ἀναφαίρετα καὶ ἀναπόσπα-

---

1) Τὸ ἀντίγραφον αὐτῆς.
2) κανδύλια.
3) ἔνθεντι.
4) τῷ πωλῆσαι.
5) Αἱμημόντου.

στα ἀπ' αὐτῆς, ὡς τὰ ἅπαξ θεῷ ἀνατεθέντα καὶ ἀφιερωθέντα διὰ παντὸς διαμένειν ἀμετακίνητα. Εἰς γοῦν τὴν μεταξὺ αὐτῶν συμφωνίαν τὰ εἰρημένα ἄσπρα ἐλήφθησαν καὶ διὰ τὰ τοῦ μοναστηρίου χρέη ἀπεδόθησαν, καὶ ἐγένετο κοινὸν μοναστηριακὸν ἐνσφράγιστον καὶ ἐνυπόγραφον αὐτῶν γράμμα καὶ ἐπεδόθη τοῖς μαγίστορσι καὶ πρωτομαγίστορσι μπακάλιδων. Εἰς ἐπικύρωσιν δὲ τούτων καὶ πλείονα ἰσχὺν καὶ ἀσφάλειαν γράφοντες ἀποφαινόμεθα συνοδικῶς καὶ διὰ τοῦ παρόντος γράμματος τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα εἰς τὴν γενομένην μεταξὺ αὐτῶν διαθήκην καὶ συμφωνίαν τὰ ἐν τῷ καταστίχῳ γεγραμμένα ἀσημικὰ ἔχωσι μένειν ἀναπόσπαστα καὶ ἀναφαίρετα ἐν τῇ ῥηθείσῃ ἐκκλησίᾳ τοῦ ἁγίου Στεφάνου, μηδενὸς τολμήσοντος παρὰ τῶν Λαυριωτῶν πατέρων, οὔτε παρὰ τοῦ ἐσναφίου τῶν μπακάλιδων μετακινῆσαι ταῦτα ἢ πωλῆσαι ἐφ' οἱαδήτινι αἰτίᾳ καὶ προφάσει· ὅθεν εἰς ἔνδειξιν τούτων καὶ ἐπικύρωσιν καὶ εἰς ἀεὶ διαμονὴν ἐγένετο καὶ τὸ παρὸν ἀποδεικτικὸν πατριαρχικὸν καὶ συνοδικὸν ἡμῶν γράμμα καὶ ἐπεδόθη τῷ ἐσναφ'ῳ τῆς εἰς τὴν Ἀδριανούπολιν μαγιστόρων μπακάλιδων.

,αψπθ' (1789), ἐν μηνὶ Δεκεμβρίῳ.

Ἕπονται δώδεκα ὑπογραφαὶ συνοδικῶν ἀρχιερέων. [1]

Ἔγραφον κατὰ μῆνα Νοέμβριον τοῦ 1935 σωτηρίου ἔτους ἐν Μονῇ Μεγίστῃ Λαύρᾳ τοῦ Ἄθωνος.

ΕΥΛΟΓΙΟΣ ΚΟΥΡΙΛΑΣ ΛΑΥΡΙΩΤΗΣ

1) Δυστυχῶς αἱ ὑπογραφαὶ δὲν ἐτέθησαν ἐν τῷ ἀντιγράφῳ.

# ΘΡΑΚΙΚΑ ΕΥΧΑΡΙΣΤΗΡΙΑ ΕΙΣ ΤΟΝ ΔΙΑ

Ἐκ τῶν ὑπὸ τὸν ἀνωτέρω τίτλον δημοσιευομένων ἐνταῦθα τριῶν ἀναθηματικῶν ἐπιγραφῶν, ἡ μὲν πρώτη «Διὶ Ὑψίστῳ», προέρχεται ἐκ τῆς παρακειμένης καὶ ἀνατολικῶς τῆς Καβάλλας τοποθεσίας Τζαρί, περὶ τὰ δέκα χιλιόμετρα ἀπεχούσης, αἱ δὲ δύο ἄλλαι «Διὶ Ζβελθιούρδῳ καὶ Διὶ Παισου[λ]ηνῷ» ἐκ Κομοτινῆς, περισυλλεχθεῖσαι ὑπὸ τοῦ φίλου καθηγητοῦ τοῦ Γυμνασίου καὶ ἐκτάκτου Ἐπιμελητοῦ Ἀρχαιοτήτων κ. Ρήγα Θεοχάρη, τὸν ὁποῖον θερμῶς καὶ ἐνταῦθα εὐχαριστῶ διὰ τὴν παραχώρησίν των εἰς ἐμέ. Ἡ πρώτη τῶν ἐπιγραφῶν μετεφέρθη εἰς τὴν Συλλογὴν Καβάλλας, αἱ δὲ δύο ἄλλαι εἰς τὴν τῆς Κομοτινῆς.

Ὁ μεταβαίνων σήμερον ἀπὸ Καβάλλας εἰς Χρυσούπολιν (Σαρὶ Σαμπάν), κατέχουσαν τὴν θέσιν τῆς ἀρχαίας Σάρας Σαπαίων. κατὰ Σβορῶνον, μετὰ τὸν αὐχένα τὸν χωρίζοντα τὴν μικρὰν λεκάνην τοῦ Νεκροταφείου Καβάλλας καὶ τὴν ἐκεῖθεν ἑτέραν τοιαύτην εἰς τὸ πέρας τῆς ὁποίας κεῖται σήμερον ὁ προσφυγικὸς συνοικισμὸς Νέα Καρβάλη, ἀριστερὰ τῆς ἁμαξιτοῦ παρὰ τὸ 10ον χιλ. παρατηρεῖ λατομεῖον μαρμάρου ἐν ἐνεργείᾳ καὶ σήμερον ἀκόμη. Προσεκτικωτέρα παρατήρησις ἐπὶ τῶν ἀλατομήτων πλευρῶν τοῦ λόφου, μαρτυρεῖ διὰ τῶν ὑπαρχόντων ἐκεῖ ἰχνῶν, ὅτι καὶ εἰς τοὺς ἀρχαίους χρόνους ὑπῆρχεν ἐκεῖ λατομεῖον μαρμάρου.

Τοῦτο πιστοποιεῖ καὶ ἡ ὑπ' ἀριθ. 1 (εἰκ. 1—2) ἐπιγραφὴ ἡμῶν, προερχομένη ἐκ τοῦ ἔναντι τῶν λατομείων ἀγροῦ, ἐπὶ τῆς δεξιᾶς πλευρᾶς τῆς ἁμαξιτοῦ κειμένου, κατακειμένη δὲ εἰς βάθος 0,75 μ. ἀπὸ τῆς ἐπιφανείας του, καὶ προσκόψασα εἰς ἄνοιγμά τι τοῦ καλλιεργητοῦ χωρικοῦ ἰδιοκτήτου του.

Ἡ ἐπιγραφὴ εἶναι χαραγμένη ἐπὶ μεγάλης τετραπλεύρου στήλης,

μορφῆς ὀρθοστάτου, ὕψους ὁλικοῦ σωζομένου 1,08 μ. πλάτους 0,77 μ. πάχους 0,55 μ. καὶ ἐκ μαρμάρου προφανῶς ἐντοπίου.

Ἡ στήλη ὄπισθεν εἶναι χονδρῶς ἐπεξειργασμένη, ἐνῶ κατὰ τὰς τρεῖς ἄλλας λείας ἐπιφανείας της στεφανοῦται ἄνω καὶ κάτω ὑπὸ ταινίας ἢ κα-



Εἰκ. 1. Ἡ στήλη καὶ ἡ ἐπιγραφή.

νόνος πλάτους 0,17 μ., τῆς ὁποίας μέρος μόνον σώζεται εἰς τὸ ἀποκεκρουμένον ἄνω μέρος της. Ἐὰν ἡ ταινία εἶχε καθὼς φαίνεται τὸ αὐτὸ πλάτος ἄνω καὶ κάτω, ὁλικὸν ὕψος τῆς στήλης θὰ ἦτο 0,17+0,80+0,17=1,14 μ., διότι 0,80 μ. ὕψους εἶναι τὸ μεταξὺ τῶν κανόνων μέρος τῆς στήλης.

Θὰ ἔκειτο βεβαίως ἡ στήλη πρὸς τοῖχόν τινα ἢ ἐν κόγχῃ λαξευμένῃ παρὰ τὸ λατομεῖον καὶ ἐπὶ τοῦ ἐπικλινοῦς λόφου, τόπου κοσ[illegible]ου δι' ἀναθήματα εἰς τὸν Δία Ὕψιστον, ὥστε νὰ μὴ φαίνεται ἡ ἁδρὰ ὀπισθία ἐπιφάνειά της, ἄγνωστον ὅμως παραμένει τί ἀνάθημα ἔφερεν ἐπάνω της,

διότι παρ' ὅλον τὸ θραύσιμον τῆς ἄνω ἐπιφανείας της διαβλέπει τις ἴχνη μικροῦ τετραπλεύρου τόρμου 0,20×0,20 μ. καὶ ὄχι ἀκριβῶς εἰς τὸ κέντρον της κειμένου. Δὲν ἀποκλείεται βεβαίως καὶ νὰ μὴ ἔφερεν ποτὲ τοιοῦτόν τι



Εἰκ. 2. Φωτογραφία τοῦ Ἐκτύπου ἀναγινωσκομένη ἐκ δεξιῶν πρὸς τὰ ἀριστερὰ μὴ ἀντιγραφείου.

ἀνάθημα, καὶ νὰ ἦτο ἁπλῶς αὐτὴ αὕτη ἡ στήλη τὸ ἀνάθημα, καθὼς πολλαὶ τετράπλευροι ὁμοιόσχημοι στῆλαι Ρωμαϊκῶν χρόνων, οἱ ὁποῖοι μᾶλλον ὡς τετράπλευροι βωμοὶ εἰς τὴν περίπτωσιν ταύτην θὰ χαρακτηρισθοῦν, καὶ τῶν ὁποίων μεγάλην συλλογὴν κατέχει τὸ Μουσεῖον Θεσ)νίκης.

Ἡ ἐπιγραφὴ εἶναι χαραγμένη ἐπὶ ὀκτὼ στίχων καὶ διὰ γραμμάτων ὕψους περίπου 0,004 μ. τύπου ἐπιτηδευμένου καὶ καλοῦ τῶν ἀρχῶν τοῦ α' μ.

Χ. αἰῶνος, πλὴν δὲ τῆς βλάβης ἣν ὑπέστη μέρος τῆς λέξεως εὐχαριστήριον, ἡ διατήρησίς της κατὰ τὰ ἄλλα εἶναι ἀρίστη.

Διὶ Ὑψίστωι Εὐχαρισ[τή]
ριον ὑπὲρ Κυρίου
βασιλέος (sic) Θρακῶν
Ροιμητάλκα Κότυος
καὶ τῶν τέκνων αὐτοῦ
Εὔτυχος ὁ ἐπὶ τῶν
λατόμων καὶ οἱ
ὑπ᾽ αὐτὸν πάντες
ὑπονοουμένου τοῦ ῥήματος ἀνέθεσαν.

Ὁ Ζεὺς Ὕψιστος [1]) εἰς ὃν ἀνετέθη ἡ ἐπιγραφὴ ἡμῶν φέρει ἀπὸ ἀρχαιοτάτων χρόνων τὴν προσωνυμίαν ταύτην (Πίνδ. Νεμ. XI, 2. Αἰσχύλ. Εὐμεν. 28 καὶ Παυσανίας πλειστάκις), ἀλλ᾽ ὁ εἰς τὴν ἐποχὴν τῆς ἐπιγραφῆς ἡμῶν καὶ τῶν ἄλλων συγχρόνων της γνωστῶν Ζεὺς Ὕψιστος εἶναι ὁ ἴδιος ἀρχαῖος καὶ καθ᾽ αὐτὸ ἑλληνικὸς Θεός ; Εἶναι ἀδύνατον ὑπὸ τὸ ἐπίθετον αὐτὸ νὰ ἐννοεῖται μόνον ὁ Ζεὺς ἀκραῖος, ὁ ἐν διαφόροις ὑψώμασιν τῆς Ἑλλάδος λατρευθείς, καὶ νὰ μὴ κρύπτεται ὑπ᾽ αὐτὸν καὶ τοπική τις θεότης, διάφορος κατὰ τόπους, πρὸ πάντων διὰ τοὺς μεταγενεστέρους τούτους χρόνους, ἀφ᾽ οὗ ἤδη ἀπὸ τῶν Ἑλληνιστικῶν χρόνων διάφοροι ἀνατολικαὶ καὶ μονοθεϊστικαὶ λατρεῖαι ἐταυτίσθησαν μετὰ τοῦ Διὸς Ὑψίστου.

Εἰς τὴν Συρίαν π. χ. ὁ Ζεὺς Ὕψιστος ἐταυτίσθη καὶ ὑπεκατέσθησεν τὸν Baal—samin, εἰς τὴν Σαμάρειαν τὸν Jehovah, ὡς Ζεὺς ὄρειος ἐλατρεύετο εἰς τὴν Σιδόνα, ὡς Ὕψιστος ἐν Παλμύρα, [2]) ἐσχετίσθη προφανῶς μετὰ τοῦ Hadad Ἀκρωρείτου [3]) τῆς ἐπιγραφῆς τῆς Ρώμης καὶ μετὰ τοῦ ἁπλῶς Θεοῦ Ὑψίστου τῆς Θρακικῆς ἐπιγραφῆς παρὰ Kalinka [4])

---

1) Περὶ τῆς λατρείας τοῦ Διὸς Ὑψίστου, ὑπάτου κλπ. βλπ. O. Gruppe, Griech. Myth. (1906) σ. 1103 σημ. 2 καὶ πρὸ πάντων A. B. Cook, Zous II (1925) σημ. εἰς τὰς σελίδας 876—889, ὅπου τριάκοντα καὶ τέσσαρες τοποθεσίαι λατρείας του ἀναφέρονται.

2) Cautineau, Inscr. Palmg. 188—190.

3) Cook ἔ. ἀ. σ. 889.

4) Kalinka, Antike Denkmäler in Bulgarien n. 145. Περὶ Ὑψίστου βλπ. καὶ E. Schürer, Die Juden in Bosporanischen Reiche und die henossenschaften der Σεβόμενον Θεὸν Ὕψιστον, Sitzungsber. Akad. Berlin, 1897 σ. 200 καὶ ἑξ. καὶ F. Gumont, Hypsistos, Suppl. à la Reme de l' instruction publique en Belgique XL 1897.

ἀσφαλῶς σημητικῆς ταυτότητος. Ἀκόμη καὶ ἡ ἐν Δήλῳ λατρεία τοῦ Διὸς Ὑψίστου [1]) κατὰ τὴν δευτέραν διὰ Ῥωμαίων τῆς νήσου κτῆσιν (166—69 π. Χ.) ὑπὸ τῶν Ἀθηναίων, μετὰ μονοθεϊστικῶν λατρειῶν σχετίζεται καὶ συγκεκριμένως μετὰ τοῦ Διὸς Baal.

Καὶ ἡ ἐν Ἐδέσσῃ Μακεδονίας λατρεία τοῦ Διὸς Ὑψίστου ὑπὸ ἑταιρείας συλλατρευτῶν ὀνομαζομένης «συνηθείας» προφανῶς εἶναι διάφορος τῆς τοῦ Πανελληνίου Θεοῦ τοιαύτης.[2])

Ἐξ ὅλων τούτων τῶν προαναφερθέντων ταυτισμῶν ξένων θεοτήτων μετὰ τοῦ Διὸς Ὑψίστου εἰς χρόνους μεταγενεστέρους, ὑποχρεούμεθα νὰ προσέξωμεν μήπως καὶ ἡ ἐν Θράκῃ λατρεία τοῦ Διὸς Ὑψίστου [3]) δὲν εἶναι ἡ παλαιὰ καθ' αὑτὸ λατρεία αὐτοῦ ἡ καθαρῶς ἑλληνική, ἀλλὰ μήπως ὑπεκατέστησεν καὶ ἐδῶ Θρακικήν τινα θεότητα, καὶ μάλιστα μήπως συνεσχετίθη τὸ πρόσωπον τοῦ Ἕλληνος Διὸς μετὰ τοῦ θρακικοῦ Θεοῦ, τοῦ ὡς μεγάλου θεοῦ, θεοῦ ὑψίστου, μόνου Θεοῦ, [4]) μεγίστου τῶν θεῶν ἀναφερομένου, τοῦ κατ' ἐξοχὴν δηλ. Θεοῦ τῶν Θρακῶν. Καὶ νομίζομεν ὅτι μᾶλλον εἰς τοιοῦτόν τινα Δία ἀνετέθη ἡ ἐπιγραφὴ ἡμῶν.

Ἡ ἐπιγραφὴ ἀνετέθη ὑπὲρ Κυρίου βασιλέως τῶν Θρακῶν Ροιμητάλκα Κότυος καὶ τῶν τέκνων του.

Τὸ ὄνομα Ροιμητάλκας γνωστὸν καὶ ἐξ ἄλλων Θρακικῶν, Ἀθηναϊκῶν ἀκόμη ἐπιγραφῶν καὶ συγγραφέων πολλῶν, ἀπαντᾷ γραφόμενον καὶ : Ροιμητάλκης, Ρυμιτάλκης, Ρυμητάλκης, Ρυμετάλκης, Ρωιμητάλκης καὶ Ροιματάλκας. Εἶναι ὀρθότατα παρατηρημένον ὅτι ἀποτελεῖται ἐκ δύο μερῶν Ροίμη-τάλκης, καὶ ὅτι τὸ πρῶτον σχετίζεται μετὰ τῶν Θρακικῶν ὀνομάτων Ροιμήζης, Ρυμησύκις, τὸ δὲ δεύτερον ἀναμφιβόλως πρὸς τὸ ἐπίσης δεύτερον μέρος τοῦ ὀνόματος Σετάλκης. [5])

Ὁ ἀναφερόμενος δὲ ἐνταῦθα βασιλεὺς Θρακῶν Ροιμητάλκας πρέπει νὰ εἶναι ὁ ὡς τρίτος γνωστός, υἱὸς Κότυος, Ροιμητάλκου υἱοῦ, Σαπαίου

---

1) P l a s s a r t, Exploration Délos, XI, 289 καὶ ἑξῆς.

2) Ε. Π ε λ ε κ ί δ η ς, Ἀρχ. Δελτ. 1923, σ. 259 καὶ ἑξῆς. W. Bäge, de Macedonum Sacris σ. 8 περὶ «συνηθειῶν» Daremberg Saglio V σ. 250.

3) μνεία αὐτοῦ K a l i n k a ἔ. ἀ. n. 133.

4) ἔ. ἀ. n. 95, 114 θεὸς μέγας Δερζελάτης. D i t t e m b e r g e r Sylloge[3] 762. T h o m a s c h e k, die alten Thraker II, σ. 54 καὶ 66.

5) T h o m a s c h e k ἔ. ἀ. σ. 28. D a u m o n t - H o m o l l e Melanges d'Archéologie κλπ.=Revue Archaeol. II. serie 36 (1878) σ. 302. G. Seure Revue Etud. Greques 1913 σ. 251.

(Στράβων XII 3,29) καὶ τῆς Ἀντωνίας Τρύφαινας, θυγατρὸς βασιλέως τοῦ Πόντου Πολέμωνος καὶ τῆς Πυθοδωρίδος.

Ἐπειδὴ ὑπὸ τὸ ὄνομα τοῦτο ἐν συναφείᾳ μετὰ τοῦ Κότυος κατὰ τὰς ἀρχὰς τοῦ α' μ. Χ. αἰῶνος καὶ ἐν σχέσει στενωτάτῃ πάντοτε πρὸς τὴν Ῥωμαϊκὴν Ἱστορίαν, φέρονται τρεῖς βασιλεῖς, [1]) καλὸν εἶναι νὰ παραθέσωμεν ἐνταῦθα τὴν σειράν των.

Κατὰ τὰς ἀρχὰς τοῦ α' μ. Χ. αἰῶνος βασιλεύει τῆς Θρᾴκης Ῥοιμητάλκας Α', τούτου θανόντος περὶ τὸ 12 μ. Χ. ὁ Αὔγουστος διῄρεσε τὸ κράτος του μεταξὺ τοῦ ἀδελφοῦ του Ῥασκοπόριδος καὶ τοῦ υἱοῦ του Κότυος, (Τάκιτος Annal. II, 64, Dessau ἔ. ἀ. 704. Collart ἔ. ἀ. 202).

Ὁ Κότυς οὗτος Ε' ἔλαβεν σύζυγον ὅπως εἴπομεν τὴν Ἀντωνίαν Τρύφαιναν καὶ ἀπέκτησεν ἐξ αὐτῆς τρεῖς υἱούς, τὸν Ῥοιμητάλκαν Γ' τῆς ἡμετέρας ἐπιγραφῆς καὶ τὸν Πολέμωνα II και Κότυν βασιλέα τῆς Μικρᾶς Ἀρμενίας. (Σράβων ἔ. ἀ. 3, 29.)

Τὸν Κότυν Ε' βασιλέα γραμμάτων [2]) ἐπιβουλεύεται ὁ θεῖος του Ῥασκόπορις καὶ τὸν φονεύει (19 μ. Χ) ἐνάγεται ὅμως εἰς τὴν Ῥώμην ὑπὸ τῆς χήρας Ἀντωνίας Τρύφαινας ἐπὶ Τιβερίου καὶ ἐξορίζεται εἰς Αἴγυπτον ὅπου φονεύεται. (Τάκιτος Annal II 64–67). Ἡ Θρᾴκη τότε δίδεται εἰς τὸν πρωτότοκον υἱὸν τοῦ Κότυος Ε' Ῥοιμητάλκαν Γ' (ἡμετέρας ἐπιγραφῆς) καὶ τὸν Ῥοιμητάλκαν υἱὸν τοῦ ἐπιβουλευθέντος Ρασκοπόριδος. Ὁ Ῥοιμητάλκας Ῥασκοπόριδος εἶναι ὁ Β', οὗ ἐπιγραφὴ εὑρέθη ἐν Φιλίπποις (B.C.H. 1932 σ. 202).

Τὰ τέκνα Κότυος τοῦ Σαπαίου, Ῥοιμητάλκας Γ', Πολέμων ὁ μετέπειτα βασιλεὺς Πόντου (37—63 μ. Χ.) καὶ Κότυς βασιλεὺς τῆς Μικρᾶς Ἀρμενίας (—37 μ. Χ.) ἀνατρέφονται εἰς τὴν Ῥώμην μετὰ τοῦ Γαΐου Καλιγούλα συγγενεύοντα πρὸς αὐτὸν ἐκ μητρὸς καθὼς καὶ μετὰ τοῦ Μάρκου Ἀντωνίου τοῦ triumvire. [3])

---

1) βλπ. περὶ αὐτῶν. M o m m s e n, Ephem. Epigr. 1875. 250—263.
A. J o h b e n REG. 1893, 8 καὶ ἑξ.
D e s s a u, Ephem. Epigr. IX. 1913, 691—705.
Π ε λ ε κ ί δ η ς Π. Α. Ε. 1920, 8 καὶ ἑξῆς.
C o l l a r t - D e v a m b e z B. C. H. 1931. 181. B. C. H. 1932, 202.
R o u s s e l R. E. G. 1934, 348.
P r o s o p o g r. Imp. Rom. λέξ. Ῥοιμητάλκας, Κότυς, Ἀντωνία Τρύφαινα.
P a u l y - W i s s o w a RE ἐπίσης ὡς ἀνωτέρω λέξεις.

2) Ὀ β ι δ ί ο υ ἐπιστολή, II, 9. «Θρᾳκικὰ» Α' σ. 89 καὶ ἑξῆς.

3) C u r t i u s, Monetsber, der Akadem. zu Berlin, 1874, σ. 16 n. IV=Dittemberger Sylloge[3] 798 ἐπιγραφὴ Κυζίκου «τοὺς παῖδας Κότυος Ῥοιμητάλκην καὶ Πολέμωνα καὶ Κότυν συντρόφους καὶ ἑτέρους ἑαυτῷ (Γαΐῳ Καλιγούλᾳ) γεγονότας».

Ἐπιτροπεύεται δὲ ὁ Ῥοιμητάλκας Γ' ὑπὸ τοῦ Pufi Trebellini (Τάκιτος, Annal II, 67, 4 III, 38, 4.) καὶ μόλις ὑπὸ τοῦ Γαΐου Καλιγούλα ἀνελθόντος εἰς τὸν θρόνον, ἀποκαθίσταται εἰς τὴν βασιλείαν τῆς Θράκης βασιλεύσας οὕτω ὀνομαστικῶς μὲν ἀπὸ τοῦ 19—46 μ. Χ. οὐσιαστικῶς δὲ ἀπὸ τοῦ 38—46 μ. Χ. [1]) Τῆς βασιλείας του ἔχομεν καὶ νομίσματα (Head - Σβορώνου σ. 360, ἔτους 37—46 μ. Χ. Ῥοιμητάλκα Γ' σὺν Καλιγούλᾳ) φέροντα προτομὴν καὶ ἐπιγραφὴν ***βασιλέως Ῥοιμητάλκα*** καὶ ἐπὶ τῆς ἑτέρας ὄψεως : ***Γαΐῳ Καίσαρι Γερμανικῷ Σεβαστῷ***=Καλιγούλᾳ.

Ὡς βασιλεὺς τῆς Θράκης ἀναφέρεται καὶ ἐν ἐπιγραφῇ εὑρεθείσῃ ἐν Χρυσουπόλει (Σαρὶ—Σαμπᾶν, B.C.H. VIII, 652 : )

βασιλεὺς Ροιμητάλκης, Κότυος υἱός, ὁ Βιστόνου εὐεργέτης.

Ἐβασίλευσε δὲ μέχρι τοῦ 46 μ. Χ. ὁπότε φονεύεται ὑπὸ τῆς ἰδίας συζύγου (Σύγκελος ἐκδ. Βόννης 631). Μετὰ τὸν θάνατον αὐτοῦ, χρονολογοῦντα τὴν ἐπιγραφὴν ἡμῶν μεταξὺ τῶν ἐτῶν 37)8—46 μ. Χ., ἡ Θράκη γίνεται Ῥωμαϊκὴ Ἐπαρχία. [2])

Ἐν τῇ ἐπιγραφῇ ἡμῶν ἀναφέρεται μετὰ τῶν τέκνων του, ἐνῷ δὲ μέχρι τοῦδε ἀγνοεῖται καὶ τὸ ὄνομα τῆς φονικῆς συζύγου του, τὸ πρῶτον ἀναφέρονται τὰ ἐξ αὐτῆς προφανῶς τέκνα του, ἔστω καὶ ὄχι ὀνομαστικῶς.

Ἡ ἐπιγραφὴ ἀνετέθη ὑπό τινος Εὐτύχου ἐπὶ τῶν λατόμων καὶ τῶν ὑπ' αὐτὸν πάντων. Τὸ ὄνομα Εὔτυχος καὶ Εὐτύχης εἶναι καὶ ἄλλοθεν γνωστόν. [3])

Τὰ λατομεῖα παρ' ἀρχαίοις, τὰ ὑπαγόμενα ἐν γένει εἰς τὰ μέταλλα [4]) =τόπους ἐξαγωγῆς ὀρυκτῶν μετάλλων ἐν γένει καὶ λίθων, (Μέταλλα μαρμάρου λ. χ. περὶ τῆς Πεντέλης λέγει ὁ Στράβων IX, 2,3) ἦσαν καὶ ἰδιόκτητα, ὅπως γνωρίζομεν περὶ τοῦ Ἡρώδου Ἀττικοῦ ἐπίσης ἐν Πεντέλῃ καὶ ἄλλων ἀλλαχοῦ, (Παυσανίας I,1 9, 7: VI, 21, 2: X, 32, 1.) ἀλλὰ ὡς ἐπὶ τὸ

---

1) Δίων Κάσσιος 59, 12, 2. Τὸ ἔτος 37)8 ἦτο ἄρχων εἰς τὰς Ἀθήνας C.I.A. III, 1077 καὶ 1284. Neubar Hermes X, 1876, 145—152.

2) J. Marquandt, Römische Staatsverwaltung I², σ. 312. Εὐσεβίου Ἑλλ. ἀποσπάσματα καὶ Σύγκελλος ἔ. ἀ. Collart ἔ. ἀ. σ. 206.

Ἡ ἐπιγραφή : Ῥοιμητάλκου καὶ Πυθοδωρίδος (νεωτέρας) ἐκ τοῦ κατὰ τὸν Κοιλαλητικὸν πόλεμον κινδύνου σωτηρίας ὑπέρ, μᾶλλον εἰς τὸν Ῥοιμητάλκαν Β' πρέπει νὰ ἀναφέρηται, διότι τὸ 26 μ. Χ. ὁ Ῥοιμητάλκας Γ' ἐπετροπεύετο ἀκόμη. Dessau ἔ. ἀ. σ. 704. Τάκιτος Annal. III 38—39. IV, 46—51.

3) Cagnat, Inscript. Graec. ad res Rom. pertineutes n. 79. Kalinka ἔ. ἀ. n. 179. 303, 312.

4) Daremberg. Saglio λ. metalla, λατόμος.

πλεῖστον καὶ δημόσια. Ὅταν τὰ λατομεῖα εἰς τοὺς παλαιοτέρους χρόνους εἶναι κρατικά, καθὼς θὰ ἐλέγομεν σήμερον, καὶ τὰ ἐνοικίαζεν ἐργολάβος τις, [1]) διὰ τὴν διαχείρισίν των ὡς περιουσίας τοῦ δημοσίου ἁρμόδιοι ἦσαν οἱ ἄρχοντες ἀρχιτέκτονες τῶν διαφόρων πόλεων.

Εἰς τοὺς Ρωμαϊκοὺς χρόνους τὰ κρατικὰ καὶ αὐτοκρατορικὰ μέταλλα καὶ λατομεῖα διευθύνονται ὑπὸ ἀπελευθέρων ἢ δούλων ὑπαγομένων εἰς τὸν procuratorem metallorum. Εἰς τὴν Ρώμην ἐκτὸς τοῦ procuratoris aurarium Daciarum λ. χ. τῆς ἐπιγραφῆς G.I.L. III. 1927, ἔχομεν καὶ τὸν procuratorem Augusti novarum lapicaedinarum Aurelianum τῆς Νουμηδίας, τὸν procuratorem marmorum novarum τῆς C.I.L. VIII 14551—14552, 14688 κλπ. Τοιοῦτος procurator lapicaedinarum ἢ operum publicorum, τῆς C.I.L., III 348, εἰς ὃν ὑπήγοντο οἱ procuratores marmorum τῆς ἐποχῆς τοῦ Αὐγούστου ἄρχων πρέπει νὰ εἶναι ὁ ἐν τῇ εἰκόνι 465 καὶ λέξει ἀρχιτέκτων τοῦ Daremberg — Saglio παριστάμενος Ρωμαῖος ἄρχων, ἐπιστατῶν εἰς τὴν λατόμησιν μαρμάρου ὑπὸ δύο ἄλλων προσώπων, δούλων προφανῶς.

Αὐτῆς τῆς διοικήσεως τῶν λατομείων καὶ μετάλλων ὑπὸ ἀπελευθέρων ἢ δούλων εἰς Ρωμαϊκοὺς χρόνους ἑλληνικαὶ ἐπιγραφαὶ σχετιζόμεναι μετὰ τῆς ἡμετέρας εἶναι τοὐλάχιστον δύο εἰς ἐμὲ γνωσταὶ πλὴν τῆς ἡμετέρας τρίτης νῦν. Ὁ ἐπιστάτης τῆς ἡμετέρας ἐπιγραφῆς Εὔτυχος λέγεται ἁπλῶς «ἐπὶ τῶν λατόμων», εἶναι δὲ ὁ αὐτὸς πρὸς τὸν «Ἐπίτροπον λατομείων ἢ ἐργεπιστάτην λατομίου» τῶν προαναφερθεισῶν ἐπιγραφῶν, [2]) ὡς πρὸς τὸν βαθμὸν τοῦ ἀξιώματος τῆς ἐπιστασίας. Ἐπειδὴ δὲ τόσον τὸ προσωπικὸν τῶν λατομείων κατὰ τοὺς χρόνους τῆς ἐπιγραφῆς τοῦ λατομίου Καβάλλας, ὅσον καὶ οἱ ἐπιστάται ἦσαν δοῦλοι ἢ ἀπελεύθεροι, [3]) τοιοῦτοι θὰ ἦσαν καὶ ὁ Εὔτυχος ὅσον καὶ οἱ ὑπ' αὐτὸν πάντες. Ἦσαν δὲ αὐτοὶ ἁπλοῖ λατόμοι, ἐργάται δηλ. λατομείων ἢ λιθοτόμοι=lapicae dinarii, λιθαγωγοί, λιθοῦλκοι, πρίσται κλπ. τὸ προσωπικὸν τοῦ λατομείου.

Εἰς τὸν α΄ μ. Χ. λοιπὸν αἰῶνα ὑπῆρχεν ἐν τῇ προμνημονευθείσῃ τοποθεσίᾳ Τζαρί, τῆς Καβάλλας, λατομεῖον ἐν ἐνεργείᾳ, ὁπόθεν καὶ σήμερον ἀκόμη προμηθεύεται ἡ πόλις μέρος τῶν ἀπαιτουμένων διὰ τὰς διαφόρους οἰκοδομὰς μαρμάρων.

---

1) G. G l o t z, le travail en Grèce σ. 422.

2) Ephem. Epigr. V, σ. 61, No 163 ἐπιγραφὴ ἐκ Τράλλεων λατινιστὶ καὶ ἑλληνιστί: Αὐτοκράτορι Νέρονα Σεβαστῷ πατρὶ πατρίδος Χρήσιμος ἀπελεύθερος ἐπίτροπος λατομείων τὸ δρομὸν τοῦ Γυμνασίου παρὰ Τραλλιανῇ τῇ πόλει...

Ig. XII, 5, n. 253 ἐπιγραφὴ ἐκ Πάρου ὁπόθεν ἐξήγετο ὁ περίφημος λυχνίτης λίθος: Ἔρως Καίσαρος ἐργεπιστάτης Λατομίου ἱδρύσατο.

3) G. G l o t z ἔ. ἀ. σ. 419.

Ἡ ὕπαρξις τοῦ λατομείου τούτου δὲν εἶναι μικροῦ ἐνδιαφέροντος διὰ τὴν ἱστορίαν τῆς Ἀρχαίας «Νεαπόλεως παρὰ Θάσον» κατέχουσαν ἀκριβῶς τὴν θέσιν τῆς σημερινῆς πόλεως Καβάλλας, διότι ἐκ τοῦ λατομείου τούτου προφανῶς θὰ προῆλθε μέρος τῶν μαρμαρίνων ἀρχιτεκτονικῶν λειψάνων της, τὰ ὁποῖα μελετώμενα ἰδιαιτέρως ὁριστικῶς θὰ τοποθετήσωσιν τὴν πόλιν ἐκείνην εἰς τὴν θέσιν τῆς σημερινῆς Καβάλλας, λαμβανομένου βεβαίως ὑπ' ὄψει, ὅτι ἡ ἀρχὴ τῆς πρώτης ἐκμεταλλεύσεως τοῦ λατομείου τούτου θὰ εἶναι παλαιοτέρα τοῦ α΄ μ. Χ. αἰῶνος.

Ὡς πρὸς τὴν ἀφορμὴν τῆς ἀναθέσεως ὑπὸ τῶν λατόμων ἐπιγραφῆς ὑπὲρ βασιλέως τῶν Θρακῶν εἶναι πολλαὶ αἱ δυναταὶ ἐξηγήσεις, εἴτε διότι οἱ λατόμοι ἦσαν Θρᾶκες εἴτε διότι τὸ λατομεῖον δυνατὸν νὰ ἦτο δημόσιον εἴτε καὶ διότι δυνατὸν νὰ ἦτο ἰδιοκτησία βασιλική, χωρὶς βεβαίως νὰ ἀποκλείεται καὶ εὐεργεσία τις τοῦ βασιλέως πρὸς τοὺς ἐκεῖ ἐργαζομένους λατόμους.

2) Ἡ δευτέρα ἐπιγραφὴ (εἰκ. 3—4) εὑρεθεῖσα ὑπό τινος μαθητοῦ ἐπὶ μιᾶς τῶν κορυφῶν τῆς προσθίας ὀροσειρᾶς τῆς Ῥοδόπης καὶ μεταφερθεῖσα τῇ φροντίδι τοῦ κ. Ῥήγα εἰς Κομοτινήν, εἶναι χαραγμένη ἐπὶ κιονίσκου μαρμαρίνου, (διαμ. 1,25 ὕψος σωζόμενον 0,40 μ.) εἰς ὀκτὼ στίχους καὶ διὰ γραμμάτων ὑστάτων χρόνων, ἀφ' οὗ ὑπάρχουν ἤδη καὶ «legatures» τῶν γραμμάτων Ε καὶ Λ, CTH. Ὕψος τῶν γραμμάτων μέγιστον εἶναι 0,035 μ. ἐλάχιστον δὲ 0,015 μ.

Διὶ Ζβελ
θιούρδω
θεῷ ἐπη-
κόῳ Ἡρα-
κλείδης
Τήρου
χαριστή-
ριον

Παρερχόμενοι κάθε συζήτησιν περιττὴν διὰ τὴν ἡλικίαν τοῦ τύπου τῶν γραμμάτων καὶ τῆς ἐπιγραφῆς, δυναμένην νὰ φθάσουν καὶ μέχρι τοῦ τέλους τοῦ γ΄ μ. Χ. αἰῶνος, ἐρχόμεθα εἰς τὸ θρᾳκικὸν ἐπίθετον τοῦ Διὸς Ζβελθιούρδου, τὸ ὁποῖον εἶναι καὶ ἐξ ἄλλων ἐπιγραφικῶν εὑρημάτων καὶ μνημείων γνωστόν, ὡς ἐπὶ τὸ πλεῖστον ἐκ Θρᾴκης. [1])

---

1) Dumont - Homolle, Melanges d'Archéologie κλπ. 1892. σ. 381,72σ, Dobrousky, Bull. Archéol. du Musée nat. Sophia I (1907) σ. 159 no 203.



Εἰκ. 3. Φωτογραφία τοῦ ἐκτύπου ἀναγινωσκομένη εἰς δεξιῶν πρὸς τὰ ἀριστερὰ μὴ ἀντιστραφεῖσα.

---

K a n i t z, Donau Bulgarien II σ. 286.

D i a k o w i t c h, Monuments figures de Zeus Ζβελθιοῦρδος, Annuaire de la bibliothèque nat. de Plovtiv, 1926, σ. 14.

P e r d r i z e t, Rev. Etud. Anc. I 1899, 23—26.

G. S e u r e. R. E. Gr. 1913, σ. 225 καὶ ἑξῆς.

G. C a z a r o w, Nouvelles inscriptions relatives au Dieu Thrac Ζβελσιοῦρδος, Revue Ascheol. 4 serie XXI (1913) σ. 340 καὶ ἑξῆς.




Εἰκ. 4. Πιστὸν σχέδιον ἐκ τοῦ λίθου.

Τύποι ὑπὸ τοὺς ὁποίους ἀπαντᾷ εἶναι : Ζβελσοῦρδος, Ζβελθιοῦρδος, Σβερθοῦρδος, Ζβερθιοῦρδος, Ζλεσθοῦρδος, προερχόμενος ἐκ τῆς συνήθους συγκοπῆς καὶ μεταλλαγῆς παρὰ τοῖς ἀρχαίοις Θρᾳξὶ φθόγγων τῆς αὐτῆς λέξεως.[1])

---

